γεῖν. ἐὰν δὲ μὴ πείθητε, ὅσον ἡ ἐμὴ ἰσχύει βασιλεία, τοσοῦτον ὑμᾶς βλάψω. ἐβουλεύσαντο οὖν ἅπαντες, ὑπήκοοι τῷ βασιλεῖ γενέσθαι. ὅμως σπουδὴν τοῦ καὶ τὸν αἴσωπον ἐρωτῆσαι, τὸ τί δεῖ αὐτοὺς ποιῆσαι. ὁ δὲ αἴσωπος ἔφη, τῶν ἀρχόντων ὑμῶν πειθέντων φόρους τῷ βασιλεῖ παρέχειν, γνώμην μὲν οὐ δώσω. λόγον δὲ ἐρῶ ὑμῖν, καὶ τὸ συμφέρον γνῶτε. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ, μίαν μὲν ἐλευθερίας, ἧς ἡ ἀρχὴ τραχεῖα καὶ δύσβατος. τὸ δὲ τέλος ὁμαλὸν καὶ ἴσον. ἑτέραν δὲ δουλείας, ἧς ἡ ἀρχὴ πεδινὴ καὶ λεία, τὸ δὲ τέλος ἐπώδυνον καὶ σκληρόν. ταῦτα ἀκούσαντες οἱ σάμιοι καὶ τὸ συμφέρον γνόντες, ἀνεβόησαν, λέγοντες, ἡμεῖς ἐλεύθεροι ὄντες, δοῦλοι οὐ γινόμεθα, καὶ σκληρῶς τὸν ἀποκρισιάριον ἀπέπεμψαν. ὁ δὲ διωχθεὶς ἀπήγγειλε κροίσῳ τῷ

http://digital.slub-dresden.de/ppn346259193/81